## 18 IANUARIE
## ISIDORA AGHIROTITISSA

# SLUJBA SF.MUCENIȚE TEODULA DE LA ANAZARVE-CILICIA

## MINEIUL PE IANUARIE-GR


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΑΓΙΑΣ ΜΑΡΤΥΡΟΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΘΕΟΔΟΥΛΗΣ

## Ποίημα Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ ἑξῆς προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων...

Τῆς Θεοδούλης τὴν μνήμην, τὴν θεοτίμητον, ἐν ἑορτίοις ὕμνοις, καὶ ᾠδαῖς ἐγκωμίων, στέψωμεν συμφώνως, πάντες πιστοί, πρὸς αὐτὴν ἀνακράζοντες, μαρτυρικαῖς σου πρεσβείαις πρὸς τὸν Θεόν, ἡμῖν δίδου τὰ σωτήρια.

Τὴν θεοφώνητον κλῆσίν σου ἐδικαίωσας, ὦ Θεοδούλη Μάρτυς, τῷ Θεῷ συνταχθεῖσα, ὅλῃ γὰρ ἐφέσει τῆς σῆς ψυχῆς, τῷ Θεῷ ὑποτέταξαι, ὅθεν καὶ πλήρη ἀπείληφας τὸν μισθόν οἷα δούλη ἐν πιστότητι.

Τῆς Κιλικίας ἡ χώρα, ἐν σοὶ ἀγάλλεται, μητροπρεπῶς σκιρτῶσα, Θεοδούλη γενναία, πᾶσα ἐκκλησία, χαρμονικῶς, ἐπὶ σοί τε εὐφραίνεται, ὅτι ἐδόξασας Μάρτυς νικητικῶς, τοῦ Θεοῦ τὸ μέγα ὄνομα.

Τῶν δριμυτάτων βασάνων, τοὺς πόνους ἤνεγκας, ἐν ψυχικῇ ἀνδρείᾳ καὶ πολλῇ καρτερία, Μάρτυς Θεοδούλη, ἀνδροπρεπές, κεκτημένη τὸ φρόνημα, καὶ τοῦ δολίου συντρίψασα τὰς ἀρχάς, ἐκ Θεοῦ τιμῇ τετίμησαι.

Δόξα. Ἦχος α΄.

Οἱ τῆς εὐσεβείας ἐργάται, καὶ τῶν ἄνω ἐρασταί, τῆς πίστεως οἱ τρόφιμοι, καὶ τοῦ Θεοῦ οἱ φίλοι, δεῦτε σήμερον χαρμονικῶς συνελθόντες, Θεοδούλην τὴν καλλίνικον χριστομάρτυρα, ὁμοφρόνως ἐπαινέσωμεν. Αὕτη γὰρ τὸν Θεὸν ἀγαπήσασα, τῷ Θεῷ ἐπέδωκεν ἑαυτήν ὡς δούλη ἀγαθὴ καὶ πιστοτάτη. Διὸ καὶ τὴν καλὴν ἐπωνυμίαν δικαιώσασα, σὺν τῷ Θεῷ εἰς τοὺς αἰῶνας μετὰ πάντων τῶν Ἁγίων, εἰς τὴν χαρὰν ἑορτάζει τὴν ἀκήρατον.

Καὶ νῦν. Θεοτοκίον . Ἦχος α΄.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων,στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

ΕΙΣ ΤΑ ΑΠΟΣΤΙΧΑ

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Χαίροις τοῦ Ἰησοῦ ἀμνὰς ὡραιοτάτη, ὦ Θεοδούλη Μάρτυς, τῷ κάλλει λαμπρυνθεῖσα, ἀγώνων τῆς ἀθλήσεως.

Στίχος. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Πόνους ἐν τῇ σαρκί, ἐβάστασας γενναίως, θεόφρον Θεοδούλη,διὸ τὴν κατοικίαν, τὴν ἄπονον κεκλήρωσαι.

Στίχος· Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Μάρτυς τοῦ Ἰησοῦ, ὦ Θεοδούλη χαῖρε, τῆς Κιλικίας γόνε, τῆς ἐκκλησίας κλῆμα καρπὸν κομῶσα χάριτος.

Δόξα. Τριαδικόν.

Πίστει συμπροσκυνῶ, τὴν ἄτμητον Τριάδα, Πατέρα Λόγον Πνεῦμα, δι' ἧς τὸ πᾶν συνέστη, καὶ τὴν ζωὴν ἐλάβομεν.

Καὶ νῦν. Θεοτοκίον.

Ἄγγελοι συνῳδὰ ἀνθρώποις ἀνυμνοῦσι, την παναγίαν Κόρην, Μαρίαν Θεοτόκον, αὐτῇ τὸ χαῖρε ᾄδοντες.

᾿Απολυτίκιον.

῏ΗΧος α'. Τῆς ἐρήμου πολίτης.

Τοῦ Θεοῦ στομωθεῖσα Θεοδούλη τῷ ἔρωτι, τρίβον Μαρτυρίου διέβης, ἀπτοήτῳ φρονήματι· τῇ σῇ ὁμολογίᾳ δὲ ἐχθρούς, προσείλκυσας πρὸς πίστιν ἀληθῆ, οὓς συνάθλους σου ἐκέκτησο ἐν πυρί, καὶ ξίφει μαρτυρήσαντας. Χαίροις τῆς Κιλικίας ἀπαρχή, χαίροις ᾿Εδὲμ εὐπρέπεια, χαίροις ἡ δούλη τοῦ Θεοῦ, πιστὴ ἐν ἀγαθότητι.

**ΕΝ ΤΩ͂ ΜΕΓΑΛΩ͂ ΕΣΠΕΡΙΝΩ͂**

῾Ιστῶμεν στίχους στ'.

Καὶ ψάλλομεν τὰ ἀκόλουθα προσόμοια.

῏Ηχος α'. Πανεύφημοι μάρτυρες...

Ἑόρτιον αἴνεσιν κροτεῖ, ᾿Εκκλησία σήμερον, τῆς Θεοδούλης δοξάζουσα· τὰ θεῖα σκάμματα, τοῦ Σταυροῦ δυνάμει, τὸν ἐχθρὸν γὰρ ᾔσχυνε, καὶ τούτου τὴν κακόνοιαν ἅπασαν, εἰς χοῦν ἐλέπτυνε, καὶ εἰς τέλος ἐταπείνωσεν, ὅθεν δόξης, τὰ βραβεῖα εἴληφεν.

Βασάνων ὀδύνας ἀλγεινάς, καρτερῶς ὑπέμεινας, ὡσεὶ ἀδάμας ἀλύγιστος· πυρὸς νικήσασα, τὴν γεώδη φλόγα, Θεοδούλη εὔψυχε, τῷ φίλτρῳ φλεγομένη τῷ κρείττονι, Χριστῷ τε ἔκραζες, τῆς ἀγάπης οὐ χωρίσει με, τῆς σῆς Λόγε, τὰ τῆς γῆς οὐδέποτε.
Χριστὸν ὡμολόγησας Θεόν, Θεοδούλη πάντολμε, τῶν διωκτῶν κατενώπιον· πολλοὺς ἑλκύσασα, πρὸς τὴν θείαν πίστιν, ἣν αὐτοῖς ἐδίδαξας, πρὸς ἄθλησιν ὁμοῦ τὴν Χριστώνυμον, πρὸς τέλος ἅγιον, Μαρτυρίου γὰρ τὸν στέφανον, οὗτοι εὗρον, κεφαλὰς τεμνόμενοι.

Ἕτερα. Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.
Κιλικία ἡ ἔνδοξος, μητρικῶς ἐπαγάλλεται, καὶ σκιρτᾷ τῷ πνεύματι, μεγαλύνουσα· τὴν Θεοδούλην τὴν Μάρτυρα, Χριστοῦ τὴν ἀμώμητον, καὶ καλὴν περιστεράν, ἀναπτᾶσαν,ταῖς πτέρυξιν· τῆς ἀθλήσεως, εἰς Μονὰς οὐρανίους σὺν παρθένοις, ταῖς φρονίμοις γηθομένη, ἐν χαρμοσύνῳ λαμπρότητι.
Τῷ Θεῷ καθυπήκουσας, εὐπειθῶς ἐκ νεότητος, Θεοδούλη πάντιμε,καὶ στεῤῥόψυχε καὶ τῶν ταλάντων σου ηὔξησας,τὸν πλοῦτον ὃν ἔλαβες, οὐρανόθεν ὡς πιστή, ἀγαθή τε θεράπαινα· δικαιώσασα, τὴν σὴν κλῆσιν ἐν ἄθλοις Μαρτυρίου, καὶ τὸ στέφος δεξαμένη, τὸ τοῖς Ἀγγέλοις ἐράσμιον.
Τῆς σαρκὸς τὴν ἐπίτασιν, τῶν μελῶν σου τὴν κάκωσιν,οἷα ἄλλου πάσχοντος, ἐκαρτέρησας· ὦ Θεοδούλη καλλίνικε, μαστῶν σου τὴν πύρωσιν, καὶ τὰ κάρφη τὰ σκληρά,φυλακῆς τε τὴν στένωσιν καὶ τὴν

ἄστεκτον, τῆς ἐσχάρας πυρὰν καὶ τῆς καμίνου, τὰς φλογώσεις δι' ὧν εὗρες, τὴν θείαν δρόσον τοῦ πνεύματος.

Δόξα. Ἦχος α'.

Μαρτυρικὴ πανήγυρις, καὶ πάλιν ἐπέστη ἡμῖν τοῖς φιλεόρτοις, συγκαλοῦσα εἰς αἴνεσιν χαρμόσυνον, τῆς παρθένου τε καὶ μάρτυρος Θεοδούλης. Καὶ γὰρ αὕτη ἀγαπήσασα τῆς τοῦ Θεοῦ ἀγάπης τὴν σπουδήν, καὶ τὴν μελέτην τῆς οὐρανίου διδασκαλίας μαθοῦσα, τῷ τοῦ μαρτυρίου πονήματι Θεῷ εὐηρέστησεν. Ὅθεν ἐπιδόσεως λαβοῦσα, τῆς χρηστῆς τὰς ἀριστείας, δείκνυσιν ἡμῖν ὁδὸν τὴν εὐθυτάτην, τῆς καλῆς ὁμολογίας. Καὶ τὰς συνθήκας τίθησιν πιστοῖς, ἵνα τὴν καλὴν φυλάττοντες παρακαταθήκην, εὕρωμεν δικαιοσύνης, τὴν ἐπαξίαν ἀνταπόδοσιν.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν παγκόσμιον δόξαν, τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν, καὶ τὸν Δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον, τῶν Ἀσωμάτων τὸ ᾆσμα, καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα· αὕτη γὰρ ἀνεδείχθη, οὐρανός, καὶ ναὸς τῆς Θεότητος· αὕτη τὸ μεσότειχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντεισῆξε, καὶ τὸ Βασίλειον ἠνέῳξε. Ταύτην οὖν κατέχοντες, τῆς πίστεως τὴν ἄγκυραν ὑπέρμαχον ἔχομεν, τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον. Θαρσείτω τοίνυν, θαρσείτω λαὸς τοῦ Θεοῦ· καὶ γὰρ αὐτὸς πολεμήσει τοὺς ἐχθρούς, ὡς παντοδύναμος.

Εἴσοδος, Φῶς ἱλαρόν, Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ᾿Αναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (Κεφ. ΜΓ΄ 9-14)
Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾿ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ᾿ ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ ᾿Ισραήλ.

Σοφίας Σολομῶντος το Ἀνάγνωσμα.(Κεφ. γ', 1-9).
Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ

εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. γ.' 15.)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

# ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ἦχος α'.

Τῆς χρυσαυγεστάτης σου τιμῆς τὰς ἀντιδόσεις, θαυμάζουσιν ἄγγελοι καὶ γεραίρουσιν ἄνθρωποι, ὦ Θεοδουλη μακαρία χριστομάρτυς. Πάντων γὰρ ἀπέστης τῶν φθαρτῶν, τῶν αἰωνίων ἀγαθῶν ἐρῶσα τὴν ἐπίκτησιν. Τῷ φίλτρῳ ὅθεν, τοῦ Νυμφίου σου Χριστοῦ συνεχομένη, ἠλόγησας τῆς πηλίνης σου σαρκὸς τὴν εὔνοιαν. Καὶ ποδὶ ἀγαλλομένῳ ἔδραμες, εἰς μαρτυρίου τὰ ἐπίπονα σκάμματα, τὴν πλησμονὴν ἐπιποθοῦσα, τῆς τερπνῆς καὶ ἀκηράτου μακαριότητος,

Ἦχος β'.

Θεὸν τὸν τοῦ παντὸς Δημιουργὸν καὶ Κύριον, εὐτονωτάτῃ σου φωνῇ καὶ ἀκαταπτώτῳ φρονήματι ἐνώπιον ἀθέων δυναστῶν ὡμολόγησας, ὦ Θεοδούλη ἀήττητε. Διὸ καὶ ὀδύναις ὁμιλήσασα ταῖς ἀνυποίστοις, καὶ φοβεραῖς ἀπειλαῖς τῶν αἰκισμῶν περιαχθεῖσα, οὐχ ἡττήθης τῷ λογισμῷ ἀλλ' ἔκραζες μεγάλῃ τῇ φωνῇ. Οὐδέν με χωρίσαι δύναται, τῆς θείας συντυχίας, ἀλλ' ἄχρι τέλους πιστὴ Κυρίῳ εὑρεθήσωμαι, ἵνα λάβω τῆς ζωῆς τὸν στέφανον.

Ἦχος γ '.

Εὖ δούλη τοῦ Θεοῦ, ἀγαθή τε καὶ πιστὴ καὶ σώφρων, ἡ φανεῖσα τῆς ἐπωνυμίας σου ἀξία, Θεοδούλη θειοτάτη. Τὸ τάλαντον λαβοῦσα ἐκ Θεοῦ, τῆς ἀμωμήτου πίστεως, τῇ σῇ ἀθλήσει ηὔξησας, καὶ εἰς ἑκατὸν καλῶς ἐπολυπλασίασας. Διὸ καὶ τὴν μαρτυρίαν ἔδωκας τὴν ἀγαθήν, καὶ τροπαιοῦχος ἀνεδείχθης ἀθληφόρος, τῆς

ἀσθενοῦς τοῦ θήλεος φύσεως, ὑπερβᾶσα τὰς δυνάμεις. Τῷ δὲ Θεῷ τῶν δυνάμεων ἀρέσασα, διαμένεις μετ' Αὐτοῦ εἰς αἰῶνας, καθὼς τοῖς φίλοις Αὐτοῦ ἀληθεύων ἐπηγγείλατο.

Ἦχος δ'.

Μέγας ὁ Θεὸς τῶν Χριστιανῶν, καὶ μεγάλη ἡ ἰσχὺς Αὐτοῦ, ἥν ἐν σταδίῳ ἔδειξεν, ἡ καλλιμάρτυς Θεοδούλη. Ἐχθρῶν γὰρ αἰσθητῶν καὶ νοητῶν, ἐτροπώσατο τὴν ἀνίσχυρον ἰσχύν, καὶ εἰς τὴν γῆν κατεπάτησεν, τῶν ἐθνῶν τὰ βουλεύματα, Θεοῦ μετ᾿αὐτῆς συμμαχοῦντος ἐν τῇ πάλῃ. Σὺν αὐτῇ καὶ ἡμεῖς, νικητήριον ᾠδὴν βοήσωμεν, τῷ Ἀθλοθέτῃ τῶν ψυχῶν, καὶ ἀλαλάξωμεν ψαλμικῶς, αἰνοῦντες καὶ εὐλογοῦντες, τὸν μόνον ἐν ἰσχύϊ ἀνίκητον.

Ἦχος πλ.α'.

Τοῦ Κυρίου λέγοντος, ἐν τῷ Ἁγίῳ Εὐαγγελίῳ, ὅστις ἐὰν ὁμολογήσει τὸ ἐμὸν Ὄνομα, ἔμπροσθεν τῶν ἀνθρώπων,κἀγὼ αὐτὸν ὁμολογήσω, ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐπουρανίου, εὗρεν ἐν σοὶ βεβαίωσιν, ὦ Χριστομάρτυς Θεοδούλη. Καὶ γὰρ ἐγένου κήρυξ τῆς πίστεως, καὶ ὁδηγὸς ἐν τῇ ὁδῷ τῆς ἀληθείας, δεικνύουσα τῆς σωτηρίου οἰκονομίας, τὰ μεγαλοπρεπῆ καὶ θειότατα μυστήρια. Τούτων γενέσθαι κοινωνοὺς ἀξίωσον, ταῖς εὐπροσδέκτοις σου πρὸς Κύριον ἱκεσίαις, τοὺς ὑμνολογοῦντας εὐαρέστως τὰ σὰ ἀξιάγαστα κατορθώματα.

Ἦχος πλ. β'.

Μετὰ τῶν παίδων τῶν τριῶν, τῶν ἐν καμίνῳ τοῦ πυρὸς δοκιμασθέντων, συναγάλλει αἰωνίως, ὦ Θεοδούλη στεφηφόρε. Καὶ γὰρ μετὰ βασάνους πλείστας, ἐν τῇ καμίνῳ ἐβλήθης τῇ καιομένῃ, ἔνθα Θεὸν ἐδόξασας, τὸν ἐν ῾Αγίοις Αὐτοῦ ἐνδόξως δοξαζόμενον. Καὶ τὸ τέλος ἐν αὐτῇ λαβοῦσα, τῆς τελειώσεως ἔλαβες τὸν ἔπαινον, καὶ τὰ κέρδη τῶν θησαυρῶν, τῶν μήποτε παλαιουμένων. Πρέσβευε Κυρίῳ τῷ Θεῷ ὅπως τῷ πυρὶ τῆς αὐτοῦ τελείας ἀγαπήσεως, ἀναλωθῆναι καὶ ἡμῶν τὰς καρδίας, ὡς ἂν παραστῶμεν καθαροὶ καὶ ἄμωμοι ἔμπροσθεν Αὐτοῦ, ἐν τῇ ὥρᾳ τῆς μελλούσης καὶ φρικτῆς παραστάσεως.

Ἦχος πλ. δ'.

Τὰ σὰ μέλη ἐν εὐλαβείᾳ πλείστῃ κατασπάζομαι, ὦ Θεοδούλη στεφηφόρε, τὰ ὑπομείναντα ἀλγεινά, διὰ ΧριστὸΝn τὸν καταδεξάμενον ἐπὶ Σταυροῦ, τὸ πάθος καὶ τὸν δι᾿ἡμᾶς ἑκούσιον θάνατον. Χριστὸς γὰρ καρφωθεὶς ἐπὶ τοῦ Ξύλου, τὴν ἄπονον ζωὴν ἡμῖν προεξένησεν. Καὶ σὺ δι᾿Αὐτόν, καρφίων τῶν πέντε τὰς ὀδύνας ἐβάστασας, τῆς πίστεως τὴν ἰσχὺν διατρανώσασα. Τὰ ὦτα σου ἐκαρφώθης, διὸ καὶ νῦν ἀκούεις, χαρμοσύνου ἀγαλλιάσεως τὸν εἱρμὸν τὸν ἀτελεύτητον. Τῷ μετώπῳ σου ὡσαύτως κάρφος ἐδέξω, ἐνωπία τῷ Θεῷ κατενώπιον σταθεῖσα, μετὰ παῤῥησίας ἀκατακρίτου. Καὶ τοῖς μαστοῖς σου ὡσαύτως τὰ κάρφη ἔλαβες, διὸ ἀεὶ τῷ γάλακτι τῷ οὐρανίῳ τὴν ψυχὴν τρεφομένη, τῶν Μαρτύρων

ὁμοτράπεζος παρίστασαι. Δὸς ἡμῖν εὐχαῖς σου, τοῦ ἄρτου τοῦ ἀθανάτου μετέχειν, ἵνα εἰς αἰῶνας πλησθησόμεθα χρηστότητος.

Δόξα. Ἦχος πλ. δ'.

Ἐπαινετὴ τῆς Θεοδούλης ἡ πολιτεία, ὑπὲρ τῆς τῶν Ἀγγέλων συνεδρίας. Αὕτη γὰρ εἰς τὸ Ἅγιον Βάπτισμα παρώτρυνε, τοὺς ἐπιφανεῖς ἐκ τῶν ἀρχόντων, καὶ ἀπειθεῖς εἰδωλολάτρας, Ἑλλάδιον καὶ Βοηθὸν τοὺς ὕστερον τῷ ξίφει μαρτυρήσαντας. Ὡσαύτως τε Εὐάγριον καὶ Μακάριον, τοὺς τῷ πυρὶ τελειωθέντας, οὓς τῆς Ἐδὲμ ἡ εὐδαίμων θαλπωρὴ ὑπεδέξατο. Πάντες οὖν ἀπέλαβον, τῶν δωρεῶν τῶν ὑπὲρ ἔννοιαν, καὶ τὸ κεφάλαιον εὗρον, τῆς θεοπαρόχου χάριτος. Βαπτίσματός τε τὴν στολὴν τὴν λευκοΰφαντον, ἐν αἵμασιν καὶ πόνοις μαρτυρίου κατεποίκιλαν, χρυσοειδῆ ταύτην ἐν δόξῃ ἀπαρτίσαντες, ἐν αἰωνιζούσης τιμῆς τῇ λαμπρότητι. Σὺν ἐκείνοις καὶ ἡμᾶς, ὦ Χριστομάρτυς Θεοδούλη πανένδοξε, ποίησον τῶν ἄνω ἐραστάς, καὶ τῶν Ἀγγέλων ὁμοτρόπους ἐν τῇ ψυχικῇ ἀκεραιότητι.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

## ΕΙΣ ΤΑ ΑΠΟΣΤΙΧΑ

Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν...

Χαίροις τοῦ ἀρχιθύτου Χριστοῦ, ἡ ἐθελόθυτος ἀμνὰς καὶ περίδοξος, τῷ φίλτρῳ ἡ στομωθεῖσα, τῆς τοῦ

Κυρίου στοργῆς, καὶ πρὸς τοὺς ἀγῶνας, τῆς ἀθλήσεως· προθύμῳ καρδίᾳ καὶ λογισμῷ καρτερόφρονι, ᾗ προσελθοῦσα, Θεοδούλη στεῤῥόψυχε, καὶ τρανώσασα, τοῦ Σταυροῦ τὴν ἐνέργειαν. Μάρτυς ἀξιοθαύμαστε, παρθένων τὰ τάγματα, ἡ εὐκοσμοῦσα πρεπόντως, νικητηρίοις στεφάνοις σου, Χριστὸν ἐκδυσώπει, ὑπὲρ πάντων τῶν ὑμνούντων, τὰ σὰ θαυμάσια.

Στίχος. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ῾Αγίοις Αὐτοῦ. Σεβω τὸν τοῦ παντὸς ποιητὴν καὶ ἀπαρνοῦμαι τὰ ψευδώνυμα εἴδωλα, δυνάμει ἀκαταπτώτῳ καὶ στεντορείᾳ φωνῇ, Θεοδούλη Μάρτυς, ἀνεκραύγαζες· σταδίου ἐν μέσῳ, τῶν δυναστῶν τε ἐνώπιον, τὴν Βασιλείαν, τοῦ Θεοῦ μεγαλύνουσα, καὶ τὴν ἄφραστον, Τούτου δόξαν προβάλλουσα. ῞Οθεν Χριστῷ ἐπίστευσαν, ἀρχόντων οἱ πρόκριτοι, σὺν ῾Ελλαδίῳ τῳ θείῳ ὁ Βοηθὸς καὶ Εὐάγριος· ὁμοῦ Μακαρίῳ διὰ ξίφους καὶ πυρός τε, οἱ μαρτυρήσαντες.

Στίχος. Τοῖς ῾Αγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.
Ἄνθη πανεορτίων ᾠδῶν, σοὶ ἀνατίθεμεν καρδίας εὐθύτητι, συμφώνως ἐπικροτοῦντες, ὦ Θεοδούλη σεμνή,τὰ πολυειδῆ σου, κατορθώματα· Θεοῦ γὰρ ὡς δούλη, πανευπειθῶς Τούτου ἤκουσας, ἀσπασαμένη, τὴν ὑπέρτιμον ἄθλησιν, καὶ Μαρτύριον, δεξαμένη ἐν χάριτι. Χαίρουσα οὖν εἰσέδραμες, χαρὰν εἰς

εὐφρόσυνον, εἰς τὸν νυμφῶνα τῆς δόξης, εἰς τοῦ φωτὸς τὴν πανήγυριν, παρθένοις συνάμα, ταῖς φρονίμοις ἀνυμνοῦσα, Χριστοῦ τὸ Ὄνομα.

Δόξα. Ἦχος πλ. α΄.

Τὰς θαυμαστάς σου ἀριστείας ἄγαμαι, καὶ πολλά σου βραβεῖα, νικητικαῖς καταστέφω ἐν ᾠδαῖς, ὦ Θεοδούλη, μακαρία· Πῶς θήλεος τὴν φύσιν, τὴν εὐλύγιστον ὑπερέβης, καὶ ὡς ἀδάμας ἔστης ἄκαμπτος, ἐν ταῖς βασάνοις ταῖς ἀνυποίστοις. Ἀνδρικήν τε καρτερίαν ἔδειξας, ἐν φυλακῇ διὰ Χριστὸν βληθεῖσα, τὸν ἐλευθερίαν παρεχόμενον, καὶ ἄνεσιν ἐν οὐρανοῖς, τοῖς εἰς Αὐτὸν πιστεύουσιν. Πάντα δὲ πόνον τῆς σαρκός, εἰς οὐδὲν ἐλογίσω, οὕτω λέγουσα μετὰ παῤῥησίας. Εἷς Θεὸς ἀληθινός, ὁ ἐν Τριάδι προσκυνούμενος καὶ λατρευόμενος, Οὗ τῷ Ὀνόματι, ὑπερβήσομαι τὸ τεῖχος τῶν ὀδυνῶν, καὶ τῶν Μαρτυρικῶν θλίψεων. Ὠμότητα δὲ τυράννων καταπατήσω, καὶ ὑψωθήσομαι ἐν δόξῃ, ἵνα ἴδωσιν οἱ λαοί, τὰ τῶν πιστῶν μεγάλα κατορθώματα,καὶ δοξάσωσι τὴν Βασιλείαν τοῦ Θεοῦ, τὴν εἰς αἰῶνας διαμένουσαν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγήν τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκίον.

Ἦχος α'. Τῆςἐρήμου πολίτης,

Τοῦ Θεοῦ στομωθεῖσα, Θεοδούλη τῷ ἔρωτι, τρίβον Μαρτυρίου διέβης, ἀπτοήτῳ φρονήματι· τῇ σῇ ὁμολογίᾳ δὲ ἐχθρούς, προσείλκυσας πρὸς πίστιν ἀληθῆ, οὓς συνάθλους σου ἐκέκτησο ἐν πυρί, καὶ ξίφει μαρτυρήσαντας. Χαίροις τῆς Κιλικίας ἀπαρχή, χαίροις Ἐδὲμ εὐπρέπεια, χαίροις ἡ δούλη τοῦ Θεοῦ, πιστὴ ἐν ἀγαθότητι.

Καὶ νῦν. Θεοτοκίον. Ὁμόηχον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι, Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο, ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ ὡς ἔφη ὁ δίκαιος Δαυΐδ· ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι, ἐν σοί δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' στιχολογίαν.

Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου Σωτὴρ…

Καρδίας ἐν σπουδῇ καὶ ψυχῆς ἐν ἐφέσει, ὑμνήσωμεν πιστοί, τοῦ Χριστοῦ τὴν ἀμνάδα, τὴν θείαν καλλιμάρτυρα, Θεοδούλην τὴν πάντιμον· τὴν ἐλέγξασαν, τὴν τῶν εἰδώλων ἀπάτην· καὶ κηρύξασαν, τῆς ἀληθείας τὸ κράτος, Τριάδα τὴν ἄκτιστον.

Δόξα. Ὅμοιον.

Ἀγάλλεται ἐν σοί, Κιλικίας ἡ χώρα,κροτοῦσα μητρικῶς,Θεοδούλη τὰς χεῖρας, τὰ θεῖά σου παλαίσματα, ἐν ᾠδαῖς μεγαλύνουσα· σὺ γὰρ ᾔσχυνας, τῇ τοῦ Σταυροῦ συμμαχίᾳ· τὸν ἀντίπαλον, καὶ εἰς τὴν ἄμωμον πίστιν, τυράννους προσείλκυσας.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἡ βάτος ἐν Σινᾷ, ἣν Μωσῆς ὁ θεόπτης, τεθέαται τὸ πρίν, σὴν ἐτύπου λοχείαν, Παρθένε ἀπειρόγαμε, τὸ γὰρ πῦρ τῆς θεότητος· οὐ κατέφλεξε, τὴν παναγίαν σου μήτραν, ἀλλ᾽ ὡς πρότερον, μακρὰν φθορᾶς διαμένεις, ῾Αγνὴ ἀειπάρθενος.

Μετὰ τὴν β'. στιχολογίαν.

Κάθισμα. Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον...

Τῷ Θεῷ Θεοδούλη, ὡς δούλη ἔμπιστος, ἀκολουθήσασα πόθῳ καὶ προθυμίᾳ ψυχῆς, Μαρτυρίου τὴν στενὴν ὁδὸν διήνυσας· πόνους βαστάσασα δριμεῖς, τῇ τιμίᾳ σου σαρκί, τῷ φίλτρῳ δὲ φλεγομένη, τοῦ Νυμφίου σου τῆς καμίνου, τὸ πῦρ τὸ πρόσκαιρον ἠλόγησας.

Δόξα. Ὅμοιον.

Κιλικίας τὸ κλῆμα, τὸ εὐφορώτατον, τοῦ Παραδείσου τὸ κρίνον θεοπρεποῦς ἀπαρχῆς, τῆς ἀθλήσεως τιμὴν τὴν ὑπερκόσμιον· Πνεύματος θείου δωρεάς, τὴν ἐκβλύζουσαν ἀεί, τὴν Μάρτυρα Θεοδούλην, νῦν αἰνέσωμεν εὐαρέστως,εὐχαῖς αὐτῆς ὅπως σωθείημεν.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Προφητῶν θεηγόρων, χορὸς ὁ ἅγιος, τὸν ὑπὲρ νοῦν σου Παρθένε προκατιδὼν τοκετόν, ἐν συμβόλοις ἱεροῖς σε ἐθεάσατο· ὄρος καὶ πύλην νοητήν, κιβωτόν τε τῆς ζωῆς,καὶ Τράπεζαν θείου Μάννα, τὰς καρδίας τῶν πιστευόντων, τῷ ἀκηράτῳ βεβαιοῦσα τροφῇ.

Μετὰ τὸν πολυέλεον.

Κάθισμα. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ...

Τοῦ Κυρίου τῇ στοργῇ Εὐαγγελίου τε σπουδῇ, δεσμευθεῖσα τῇ ψυχῇ, ὢ Θεοδούλη θαυμαστή, τὰ τῶν βασάνων φερέπονα ἐκαρτέρεις. Σκότος καὶ δεσμὰ φυλακίσεως, κάρφη τῇ σαρκὶ ὡς ὁ Κύριος· ὁ σταυρωθεὶς ἐν ξὺλῳ ὑπὲρ πάντων, τῶν πεπτωκότων ἐν πάθεσιν· Αὐτὸν δυσώπει, ὢ Θεοδούλη, δοῦναι ἔλεος πᾶσιν.

Δόξα. Ὅμοιον.

Ἑλλαδίῳ βοηθῷ τοῖς τῶν εἰδώλων ἀρχηγοῖς, Μακαρίῳ τε ὁμοῦ, καὶ Εὐαγρίῳ σὺν λοιποῖς, ὢ Θεοδούλη ὑπέδειξας μίαν πίστιν. Εἶτα τε ὁμοῦ οὗτοι ἔλαβον, Βάπτισμα Χριστοῦ καὶ Μαρτύριον· τελειωθέντες ξίφει καὶ πυρί τε, ζωῆς τὸ στέφος ἐδέξαντο· Αὐτοῖς τὸ χαῖρε, πάντες συμφώνως, ἐν χαρᾷ ἐκβοῶμεν.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Παραβάσεως καρπόν, Εὔα φαγοῦσα παρευθύς, ἐξεβλήθη τῆς Ἐδέμ, λύπης πλησθεῖσα τῆς πικρᾶς, καὶ ἀπογνώσεως βρόχοις συνεδεσμεῖτο. Σὺ δὲ Μαριὰμ

ἀειπάρθενε, λόγοις Γαβριὴλ ὑπακούσασα· τὸν χαρμοσύνου αἴτιον ἐλπίδος, σαρκὶ τῷ κόσμῳ ἐκύησας· Χριστὸν ὃς πάλιν, ἐν παραδείσῳ τοὺς ἀνθρώπους οἰκίζει.

Εἶτα τὸ Α΄ Ἀντίφωνον τῶν ᾿Αναβαθμῶν τοῦ δ΄. Ἤχου.
Ἐκ νεότητός μου, πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον, Σωτήρ μου (δίς).
Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι (δίς).
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ῾Αγίῳ Πνεύματι.
Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει, ὑψοῦται, λαμπρύνεται, τῇ Τριαδικῇ μονάδι, ἱεροκρυφίως.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ᾿Αμήν.
Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν, πρὸς ζωογονίαν.
Προκείμενον Ἦχος δ'.
Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται,
Στίχος. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν τας αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.

Εὐαγγέλιον (Μαρτυρικόν).
Ὁ Ν' ψαλμός.
Ταῖς τῆς ᾿Αθληφόρου πρεσβείαις ᾿Ελεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.
Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεος σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Εἶτα. Ἰδιόμελον. Ἦχος δ'.

Ὡσεὶ ἐλαία κατάκαρπος, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἡμῶν ἐγένου, ὦ Θεοδούλη καλλιμάρτυς, κλάδους φέρουσα ἀθλητικῆς παγκαρπίας, καὶ ἔλαιον τῆς ἐπαινετῆς ἀγαλλιάσεως. Δι' οὗ τὰς καρδίας εὐφραίνεις πληρωτικῶς, καὶ φωτίζεις ἱλαρῶς τὰς ψυχὰς ἡμῶν, τῶν αἰνούντων σὲ ἐν πίστει, καὶ τιμώντων εὐλαβῶς, τῶν σῶν ἀγώνων τὰ νικηφόρα ἔπαθλα.

Μετὰ δὲ τὴν ἐκφώνησιν. Ἀρχόμεθα τῶν κανόνων. Πρῶτον ὁ κανὼν τῆς Θεοτόκου. Οὗ ἡ ἀκροστιχίς: «Χαῖρε Θεοτόκε Μῆτερ τῆς ζωῆς. Ἰσιδώρας» .

Ἦχος δ'. Ὠδὴ α'. Ὁ εἱρμός.

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί· καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

Χαρᾶς εὐαγγέλια, καὶ τῆς εἰρήνης συμβόλαια, ἐν σοὶ ὑπεγράφησαν, Παρθενομῆτορ Ἁγνή· καὶ γὰρ ἔτεκες, εἰρήνης βασιλέα, καὶ λύπης ἐξήλειψας, τὸ ἐπιτίμιον.

Ἀγγέλων τὰ τάγματα, καὶ γηγενῶν τὰ συστήματα, κοινὴν συγκροτήσαντες, χορείαν ᾆσμα καινόν·

μεγαλύνουσι Θεοκυῆτορ Κόρη, τὸ Χαῖρε σοι ᾄδοντες, ἀγαλλιώμενοι.

Ἱλέῳ σου ὄμματι, νῦν ἐφ ἡμᾶς τοὺς ἱκέτας σου, ἐπίβλεψον Ἄχραντε, ἐπευλογοῦσα ῾Αγνή· τοὺς ἐλπίζοντας, εἰς σὲ ἀμεταθέτως, καὶ δίδου ἐλέους σου, τὰ βραβευτήρια.

Ῥητόρων πολύφθογγοι, γλῶσσαι ἐν σοὶ κατεσίγησαν, λαλεῖν οὐ δυνάμεναι, Εὐλογημένη ῾Αγνή· τὸ μυστήριον, τοῦ τόκου σου τοῦ ξένου, Θεὸν γὰρ γενννήσασα, ἔμεινας ἄφθορος.

Εἶτα ὁ κανὼν τῆς Μάρτυρος.Οὗ ἡ ἀκροστιχίς: «Θεοδούλης Μάρτυρος τὴν πίστιν ἐπαινῶ. ᾿Ισιδώρας» Πρῶτον ὁ κανὼν τῆς Θεοτόκου.Οὗ ἡ ἀκροστιχίς: «Χαῖρε Θεοτόκε Μῆτερ τῆς ζωῆς. ᾿Ισιδώρας» .

Ἦχος δ'. Ὠδὴ α'. ῾Ο εἱρμός.

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος,καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί· καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης  τὰ θαύματα .

Χαρᾶς εὐαγγέλια, καὶ τῆς εἰρήνης συμβόλαια, ἐν σοὶ ὑπεγράφησαν, Παρθενομῆτορ ῾Αγνή· καὶ γὰρ ἔτεκες, εἰρήνης βασιλέα, καὶ λύπης ἐξήλειψας, τὸ ἐπιτίμιον.

'Αγγέλων τὰ τάγματα, καὶ γηγενῶν τὰ συστήματα, κοινὴν συγκροτήσαντες, χορείαν ᾆσμα καινόν· μεγαλύνουσι Θεοκυῆτορ Κόρη, τὸ Χαῖρέ σοι ᾄδοντες, ἀγαλλιώμενοι.

Ἱλέῳ σου ὄμματι, νῦν ἐφ ἡμᾶς τοὺς ἱκέτας σου, ἐπίβλεψον Ἄχραντε, ἐπευλογοῦσα Ἁγνή· τοὺς ἐλπίζοντας, εἰς σὲ ἀμεταθέτως, καὶ δίδου ἐλέους σου, τὰ βραβευτήρια.
Ῥητόρων πολύφθογγοι, γλῶσσαι ἐν σοὶ κατεσίγησαν, λαλεῖν οὐ δυνάμεναι, Εὐλογημένη Ἁγνή· τὸ μυστήριον, τοῦ τόκου σου τοῦ ξένου, Θεὸν γὰρ γενννήσασα, ἔμεινας ἄφθορος.

Εἶτα ὁ κανὼν τῆς Μάρτυρος, Οὗ ἡ ἀκροστιχίς: «Θεοδούλης Μάρτυρος τὴν πίστιν ἐπαινῶ. Ἰσιδώρας»
Ὠδὴ α΄. Ἦχος καὶ εἱρμὸς ὁ αὐτός.

Θυσίαν αἰνέσεως, καὶ προσφορὰν τελειώσεως, λατρείαν εὐάρεστον,και λογικὴν τῷ Θεῷ· προσενήνοχεν, ἡ Μάρτυς Θεοδούλη, αὐτῇ οὖν προσάξωμεν, αἶνον ἐπάξιον.
Ἐν πόνοις ἀθλήσεως καὶ ἐν γενναίοις παλαίσμασιν, τὴν πίστιν καὶ ἄμωμον καὶ ἱερὰν τοῦ Χριστοῦ· ἐπεσφράγισας, τιμία Θεοδούλη, καὶ τούτου γεγένησαι, θῦμα εὐπρόσδεκτον.
Οὐράνιοι Ἄγγελοι, μετὰ βροτῶν συγχορεύουσι, τὴν μνήμην τὴν ἔνδοξον, της Ἀθληφόρου Χριστοῦ· μακαρίζοντες, τῆς θείας Θεοδούλης ἣν πόθῳ τιμήσωμεν, πάντες φιλέορτοι.
Δυνάσταις ἐνώπιον,μεγαλοφώνως ἐκήρυξας,τὸ κράτος τὸ μέγιστον, τοῦ Τρισαγίου Θεοῦ· Ὃν ἐδόξασας, σοῖς ἄθλοις Θεοδούλη, καὶ Τούτῳ ἐδούλευσας δούλη ὡς ἔμπιστη.

Θεοτοκίον.

Ὁ τόκος σου Ἄχραντε ὁ ὑπὲρ νοῦν τε καὶ ἔννοιαν, ἐκπλήττει τὰ τάγματα, Ἀγγελικῶν στρατιῶν· τὴν διάνοιαν, βροτῶν τε ὑπερβαίνει, Θεὸν γὰρ ἐκύησας, πάλιν ἁγνεύουσα.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον .

Ἐν σοὶ ἀληθείας πέρας εὗρον, αἱ ῥήσεις τῶν θείων προφητῶν, Παρθενομῆτορ Ἄχραντε, Μαρία παντευλόγητε· καὶ γὰρ ἀσπόρως τέτοκας,τὸν Βασιλέα τοῦ σύμπαντος.

Θαυμάτων φρικτῶν τὸ μέγα θαῦμα, ἐν σοὶ διεπράχθη Μαριάμ, βουλῇ πατρὸς γὰρ τέτοκας, τὸν Λόγον τὸν προάναρχον· καὶ ἐπελεύσει Πνεύματος, Ναὸς Θεοῦ ἐχρημάτισας.

Εὐφραίνονται τάξεις ἀσωμάτων, ἐν σοὶ πανυπέραγνε σεμνή, καὶ φάλαγγες αἰσχύνονται,τῶν σκοτεινῶν δυνάμεων· σὺ γὰρ τὸν μέγαν Ἥλιον, Δικαιοσύνης ἀνέτειλας.

Ὁ κόσμος σε ἔγνω σωτηρίαν, καὶ ἄῤῥηκτον τεῖχος ἐν δεινοῖς, ἡμεῖς δὲ παραμύθιον, ἐν θλίψεσί σε ἔχομεν· οἱ προσκυνοῦντες Δέσποινα, τὰ θαυμαστὰ μεγαλεῖά σου.

Τῆς Ἁγίας. Ὅμοια.

Ὑλώδους συγχύσεως τοὺς βρόγχους, καὶ πλάνης κακίας τοὺς δεσμούς, διέλυσας ἀθλήσει σου, ὦ Θεοδούλη ἔνδοξε· καὶ τῷ Θεῷ συνήνωσαι, τῇ ἁρμονίᾳ τῇ κρείττονι.

Λαὸς Κιλικίας Θεοδούλη, σκιρτᾷ τῇ σῇ μνήμῃ ἐν χαρᾷ, καὶ εὐχαρίστως ἄγει σοι πνευματικὴν πανήγυριν· ὡς γὰρ αὐτοῖς ἐγγίζουσα, τοῦ γένους τῇ ὁμοιότητι.

Ἡμέρας λαμπρᾶς σε θυγατέρα, καὶ τέκνον φωτὸς καινοπρεποῦς, καὶ δόξης κληρονόμον σε, αἰωνιζούσης ἔγνωμεν· ὦ Θεοδούλη πάντιμε, μαρτυρικῶς ἐξαστράπτουσα.

Σαρκός σου ὀδύνας Θεοδούλη, ἀκάμπτῳ δυνάμει σῆς ψυχῆς, ὑπέμεινας στεῤῥότατα, ὡσεὶ ἀδάμας μείνασα· καὶ τὴν ἰσχὺν τῆς πίστεως, νικητικῶς διετράνωσας.

Θεοτοκίον.

Μαρία ἀνύμφευτε Παρθένε, βροτῶν πρὸς Θεὸν καταλλαγή, εἰρήνευσον τὸν κόσμον σου, σαῖς μητρικαις δεήσεσιν· καὶ τῷ Θεῷ ὃν ἔτεκες, ἡμᾶς οἰκείους παράστησον.

Μετὰ τὴν συναπτήν.

Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον...

Τοῦ Θεοῦ τὴν ἀμνάδα τὴν λογικήν, Θεοδούλην τιμήσωμεν οἱ πιστοί· Κυρίου γὰρ πιστεύσασα, τοῖς προστάγμασιν ἔδραμεν· καὶ τὸν Σταυρὸν τὸν θεῖον, ἐπ' ὤμων βαστάσασα· τοῦ Μαρτυρίου ἔφερε, τὰς

θλίψεις κραυγάζουσα· τίς ἡμᾶς, χωρίσει, τῆς ἀγάπης σου Λόγε, βασάνων ἐπίπονα, ἢ τὸ πῦρ τὸ ὁμόδουλον, ἢ δεσμὰ φυλακίσεως. Σκύβαλα ἡγοῦμαι καὶ χοῦν, ἀπατηλότερα ψεύδους τε ἅπαντα· Σοὶ πεπιστευκα Λόγε, ὅστις εἶ ἡ ἀλήθεια.

Δόξα. Ὅμοιον.

Ἐν τῷ μέσῳ σταδίου δικαστικοῦ, στεντορείᾳ ἐκήρυξας τῇ φωνῇ, Τριάδα τὸν ὁμόθρονον, καὶ ὑπέρθεον δύναμιν σὺν τῷ Πατρὶ τὸν Λόγον, καὶ Πνεῦμα τὸ Ἅγιον· τὴν τοῦ παντὸς Δεσπόζουσαν, καὶ πάντα συνέχουσαν· ὅθεν Θεοδούλη, εἰς τὴν ἔνθεον πίστιν, τυράννους προσείλκυσας, Βοηθὸν καὶ Ἑλλάδιον, οἳ καὶ ξίφος ἐδέξαντο. Εἶτα Εὐαγρίῳ ὁμοῦ, καὶ τὸν Μακάριον ἔσχες συμμάρτυρας· Μεθ' ὧν ἔλαβες τέλος, ἐν καμίνῳ ἀοίδιμε.

Καὶ νῦν. Ὅμοιον. Θεοτοκίον.

Παρθενίας σου βάθος καταπλαγείς, καὶ ἁγνείας σου ὕψος ἐκθαμβηθείς, ὁ μέγας Ἀρχιστράτηγος, Γαβριὴλ σοι ἱστάμενος· ἐν εὐλαβείᾳ Κόρη, τὸ χαῖρε ἐφώνησε· καὶ τῆς χαρᾶς τὸ ἄγγελμα Πατρόθεν σοι ἔφερεν. Ὅθεν ἀπειράνδρως τοῦ Θεοῦ τε καὶ Λόγου Μητέρα γεγένησαι, καὶ τῷ κόσμῳ ἐπήγασας, τὴν αἰώνιον λύτρωσιν. Χαῖρε σοὶ διὸ καὶ ἡμεῖς, φωνῇ αἰνέσεως πάντες προσᾴδομεν· τὸ γὰρ πλήρωμα ὅλον τὸ τῆς χάριτος κέκτησαι.

Ὠδὴ δ'. Ὁ εἱρμός.

Ὁ καθήμενος ἐν δόξῃ ἐπὶ θρόνου Θεότητος, ἐν νεφέλῃ κούφῃ ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος, τῇ ἀκηράτῳ παλάμῃ καὶ διέσωσε, τοὺς κραυγάζοντας· Δόξα Χριστέ, τῇ δυνάμει σου .

Τυραννὶς ἡ τοῦ θανάτου ἐπὶ σοὶ καταλέλυται, Παναγία Κόρη,μόνη τὸν Θεὸν γὰρ ἀπέτεκες, τὸν τῷ οἰκείῳ θανάτῳ διαλύσαντα, τὸ Βασίλειον· ᾌδου ὡς μόνος ᾿Αθάνατος.

Ὁλοτρόπῳ διανοίᾳ, καὶ ψυχῇ καὶ καρδίᾳ σε, Θεοτόκον πάντες, καθομολογοῦμεν Πανάμωμε, τῇ κραταιᾷ σου δὲ σκέπῃ καταφεύγομεν, πάντα δύνασαι· ὅσα γὰρ θέλεις Παντάνασσα.

Κυριώνυμε Παρθένε, ἡ Κυρία τοῦ σύμπαντος, τῶν᾿Αγγέλων δόξα, θαῦμα τῶν βροτῶν ὑπερθαύμαστον, ἡ οὐρανῶν ἀνωτέρα, πάντας ἔγειρον, εἰς ἀνύμνησιν· τῶν ὑπὲρ νοῦν θαυμασίων σου.

Ἐπηρμένη τοῦ δολίου, κεφαλὴν ἐναπέτεμες, Μαριὰμ Παρθένε, ξίφει ἀληθοῦς ταπεινώσεως, συντετριμμένας καρδίας, ἐστερέωσας, τοῦ δοξάζειν σου· τὸ μεγαλώνυμον ὄνομα.

Τῆς Ἁγίας. Ὅμοια.

Ἀκορέστῳ διαθέσει τῶν βασάνων τὸ πέλαγος, Μάρτυς, ὅλως ἀβλαβῶς διεπέρασας, καὶ προσωρμίσθης λιμένα, εἰς γαλήνιον, ἔνθα χαίρουσα· Δόξα Κυρίῳ ἐβόησας.

Ῥήμασί σου θεηγόροις, Θεοδούλη τοὺς ἄρχοντας, εἰς Χριστοῦ τὴν πίστιν, τὴν ἀληθινὴν καθωδήγησας, οἳ καὶ προθύμως λαβόντες,θεῖον Βάπτισμα, ἐπεσφράγισαν τοῦτο ἀθλήσεως αἵμασιν.
Τετρωμένη τῇ ἀγάπῃ, τοῦ Νυμφίου σου ἔδραμες, εἰς πηγὰς ὑδάτων, ἔλαφος καθάπερ καὶ ἔπιες, τῶν ζωηρύτων ὑδάτων, θεῖα νάματα, ἃ μετέδωκας, ὦ Θεοδούλη τοῖς κάμνουσιν.
Ὑψωθεῖσα ἐπὶ ξύλου, κυπαρίσσου στεῤῥόψυχε, και διαπαρεῖσα σούβλαις πυρωθείσαις τῷ σώματι, καὶ φυλακῆς Θεοδούλη, τὰ φερέπονα, καρτερήσασα· χώραν οἰκεῖς νῦν τὴν ἄπονον.

Θεοτοκίον.

Ῥητορεύσεις τῶν ἁγίων, προφητῶν ἐκπεπλήρωνται, επὶ σοὶ Παρθένε, μόνη γὰρ Θεὸν ἀπεκύησας, τῇ τοῦ Πατρὸς εὐδοκίᾳ, καὶ διέμεινας ὡς τὸ πρότερον· πάλιν Ἁγνὴ ἀπειρόγαμε.

Ὠδὴ ε΄. Ὁ εἱρμός.

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα .
Μὴ φλέξας τὴν μήτραν σου, Θεὸς ἐν σοὶ ἐσκήνωσεν· μόνη ἀειπάρθενε Μαρία, φλέγων τὴν ὕλην τῆς ἀκανθώδους σπορᾶς, καὶ δρόσον τὴν ἄνωθεν ἡμῖν, δίδων τοῖς δοξάζουσιν, ἐξαιρέτως τὴν δόξαν σου.

Ἡλίου γεγένησαι, ἀδύτου ἐνδιαίτημα· σκότος ἀπιστίας τὸ ζοφῶδες, πόῤῥω Παρθένε τῇ μητρικῇ σου χειρί, διώκουσα φέγγος τε φαιδρόν, πίστεως γνωρίζουσα, τοῖς πιστῶς προσκυνοῦσί σε.
Τιτρώσκεις τῷ βέλει σου, τοῦ δυσμενοῦς τὰ ἔνεδρα· ἔχεις γὰρ ἰσχὺν ἀμαχωτάτην, σθένει πρεσβείας τῆς Μητρικῆς σου ῾Αγνή, Θεὸν παντοδύναμον καὶ γάρ, τέτοκας Πανάμωμε, εἰς βροτῶν ἀπολύτρωσιν.
Ἐλέει ἀπείρῳ σου, Παρθένε σῆς χρηστότητος· πάντων τὰς καρδίας ἱλαρύνεις, παύεις τὰ ἄλγη τῶν συμφορῶν ᾿Αγαθή, καὶ δίδως τοῖς κάμνουσιν, ῾Αγνή, μόνη ὡς Μητρόθεος, ᾿Ελεοῦσα τὴν χάριν σου.

Τῆς ῾Αγίας, ῞Ομοια.

Ὁρῶσα τὸν Κύριον, τοῖς ψυχικοῖς σου ὄμμασιν πάθος ἑκουσίως ὑποστάντα, διὰ τὸ σῶσαι τὸν πεπτωκότα᾿Αδάμ, πρὸς πάθος ὁδοῦ μαρτυρικῆς, ἦλθες ἐν εὐθύτητι,Θεοδούλη πανεύφημε.
Στολὴν κατελάμπρυνας, ψυχῆς σου ἐν τοῖς στίγμασιν·θείου μαρτυρίου Θεοδούλη, κάρφη ἐδέξω ἐν τῷ μετώπῳ τῷ σῷ καὶ ἄλγη ἐν ὅλῃ σου σαρκί, μείνασα ἐν σκάμματι,ὡς ἀδάμας ἀλύγιστος.
Τρωθεῖσα τῷ ἔρωτι, τοῦ νοητοῦ Νυμφίου σου· πόθον τῶν παρόντων ὑπερεῖδες, ὢ Θεοδούλη εἰς οὐρανοὺς σῆς ψυχῆς, τὸν πόθον προσθεῖσα ἀληθῶς, ἔνθα σὸν πολίτευμα, ὡς ὁ Παῦλος μετέθηκας.
Ἡλίου λαμπρότερον, ἡ μνήμη σου ἐξέλαμψε· Μάρτυς Θεοδούλη εὐαρέστως, τοὺς ἐν τῷ σκότει φωταγωγοῦσα

ἀεί, καὶ δόξαν Τριάδος ἀρχικῆς, πᾶσιν ἐγκαινίζουσα, τοῖς ἐν πίστει τιμῶσί σε.

Θεοτοκίον.

Νηδύς σου ἡ ἄφθορος, Παρθένε ἀπειρόγαμε· πέλει οὐρανῶν ὑψηλοτέρα, καὶ γὰρ ἐν ταύτῃ ὁ Βασιλεὺς τοῦ παντός, χωρήσας ἐγένετο βροτός, ἄγων εἰς οὐράνιον, πολιτείαν τὸν ἄνθρωπον.

Ὠδὴ στ'. Ὁ εἱρμός.

Τὴν θείαν ταύτην καὶ πάντιμον τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα, Θεὸν δοξάζοντες.

Ῥητόρων χείλη ἐσίγησαν, τοῦ τόκου σου Ἁγνὴ τὸ Μυστήριον, τὸ ὑπερθαύμαστον, ὑμνολογῆσαι μὴ σθένοντα, καὶ γὰρ Θεὸν τεκοῦσα, Παρθένος ἔμεινας.

Ταμεῖον μέγα καὶ ἄσυλον, τῶν θείων θησαυρῶν ἀναδέδειξαι Θεογεννήτρια, καὶ τῶν χαρίτων κειμήλιον, τὰς δωρεὰς πλουτοῦσα, τὰς ὑπὲρ ἔννοιαν.

Ἡττῶνται σκότους οἱ ἄρχοντες, τῷ θείῳ σου φωτὶ Μητροπάρθενε, καὶ κατευφραίνονται, ταῖς καλλοναῖς σῆς λαμπρότητος, αἱ τῶν Ἀγγέλων τάξεις, ὕμνον σοι ᾄδουσαι.

Σελήνη οὖσα ὑπέρφωτος, ἡμέραν σωτηρίας χαρμόσυνον,ἡμῖν ἀνέτειλας, καὶ τῆς νυκτὸς σκυθρωπότητα, τῆς ἀφεγγοῦς Παρθένε, πόῤῥῳ ἐμάκρυνας.

Ἄριστα ἐκληρώσω καὶ ἀμάραντα γέρα, χειρὶ τοῦ Ἰησοῦ Θεοδούλη. Καὶ γὰρ Αὐτοῦ τὴν πίστιν τὴν

ἀμώμητον, ἐν μέσῳ ὡμολόγησας τῶν ἀπίστων. Καὶ νῦν ἡμεῖς ὁμολογοῦντες, τῶν σῶν ἄθλων τὰ ἐξαίσια, βοῶμέν σοι νικητικῶς τοιάδε:

Χαίροις ἡ στάθμη τῆς εὐψυχίας·
χαίροις ἀντίβαρον τῆς ἀνδρείας.
Χαίροις τῆς δικαιοσύνης ἡ ἐξέχουσα εἰκών·
χαίροις γενναιοφροσύνης ὁ ἀσύγκριτος κανών.
Χαίροις ὅτι ἐδέξω Μαρτυρίου τὴν πάλην·
χαίροις ὅτι ἐδρέψω εὐφροσύνης τὴν χάριν.
Χαίροις ἡ στεῤῥῶς βληθεῖσα ἐν καμίνῳ τοῦ πυρός·
χαίροις ἡ τὴν γῆν κοσμοῦσα ὡς ὁ δόκιμος χρυσός.
Χαίροις τῶν καλῶν ἀγώνων ἡ τελέσασα τὸν δρόμον·
χαίροις ἡ προσορμισθεῖσα εἰς γαληνιῶντα ὅρμον.
Χαίροις ἡ τῆς Κιλικίας πανυπέρτιμος στολή·
χαίροις ἡ τῆς Ἐκκλησίας ἀξιάγαστος τιμή.
Χαίροις Μάρτυς στεῤῥόψυχε.

## Συναξάριον.

Τῇ ΙΗ' (18ῃ) τοῦ αὐτοῦ μηνός (Ἰανουαρίου) ἑορτὴν ποιούμεθα, τὴν μνήμην ἐπιτελοῦντες τῆς Ἁγίας Μάρτυρος τοῦ Χριστοῦ Θεοδούλης, τῆς ἀπὸ Κιλικίας καταγομένης καὶ ἐν αὐτῇ πυρὶ τελειωθείσης. Ἅμα τε καὶ τῶν δι' αὐτῆς εἰς Χριστὸν πιστευσάντων, Ἑλλαδίου τε καὶ Βοηθοῦ, ξίφει τελειωθέντων. Ἔτι δέ, Εὐαγρίου καὶ Μακαρίου καὶ ἑτέρων πολλῶν, σὺν τῇ Ἁγίᾳ Θεοδούλῃ ἐν καμίνῳ τοῦ πυρὸς τελειωθέντων.

Τῆς ῾Αγίας. ῞Ομοια.

Πυρὸς τὴν φλόγαν ἐνίκησας, θεόφρον Θεοδούλη τῇ χάριτι, τοῦ θείου Πνεύματος, καὶ ὡς οἱ Παῖδες τὴν κάμινον, εἰς δροσισμὸν ὡσαύτως, ψυχῆς μετέστρεψας.

Ἰσχύϊ θείας δυνάμεως, τὰ βέλη τοῦ ἐχθροῦ τὰ ἀνίσχυρα, εἰς γῆν κατέῤῥιψας, καὶ εὐκλεῶς ὑπερύψωσας, ὦ Θεοδούλη Μάρτυς, Σταυροῦ τὸ τρόπαιον,Συνοῦσα θείων προστάξεων, τοὺς νόμους Θεοδούλη πανεύφημε, τούτους ἐφήρμοσας, καὶ τῆς ὁδοῦ οὐκ ἐξέκλινας, τῆς εἰς ζωὴν ἀγούσης, τὴν αἰωνίζουσαν.

Τυράννων Βήματι ἔστηκας, γενναία Θεοδούλη κηρύξασα,Θεοῦ τὸ ῎Ονομα, καὶ ἐκ τῆς πλάνης μετέστρεψας, ἐκτῶν ἀρχόντων πλείστους, εἰς πίστιν ἔνθεον.

Θεοτοκίον.

Ἰδοὺ Παρθένε ὡς εἴρηκας, ἀνθρώπων γενεαὶ σὲ δοξάζουσι, καὶ μακαρίζουσιν, ὅτι Θεὸν σωματώσασα, τὴν εὐλογίαν δίδως, ἐν ἀγαθότητι.

Κοντάκιον. ῏Ηχος δ΄. Ἐπεφάνης σήμερον...

Τὸν Θεὸν κηρύξασα, ἀνδρειοφρόνως, τοῖς τυράννοις ἔμπροσθεν, ὦ Θεοδούλη θαυμαστή, πολλοὺς εἰς πίστιν προσείλκυσας· μεθ' ὧν, στεφάνους, ἐδέξω ἀθλήσεως.

῞Ετερον. ῏Ηχος πλ. δ΄. Τῇ ῾Υπερμάχῳ ...

Τῆς Κιλικίας τὸν βλαστὸν τὸν θεοφύτευτον, καὶ ᾿Εκκλησίας τὸν καρπὸν τὸν εὐφορώτατον, Θεοδούλην

ἐπαινέσωμεν εὐαρέστως. Τῶν βασάνων τὰς ὀδύνας ὑπομείνασα, εἰς αἰώνιον μετῆλθεν ἀγαλλίασιν. Ταύτῃ εἴπωμεν· χαίροις Μάρτυς στεῤῥόψυχε.

Ὠδὴ ζ'. Ὁ εἱρμός.

Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλὴν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον· ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ .

Ζωηφόροις σου, καὶ θείαις παρακλήσεσι, πρὸς τὸν Αὐτάγαθον·ζωῆς παρέχεις ἡμῖν,πολλὴν ἀνταπόδοσιν, ἄχραντεΔέσποινα· καὶ γὰρ κέκτησαι, τὴν παῤῥησίαν ἄμετρον, πρὸς Θεὸν ὡς Τούτου Μήτηρ.

Ὡς παλάτιον, τοῦ Λόγου πανυπέρτατον, ἔνδον ἐχώρησας τον Βασιλέα ἡμῶν τὸν πᾶσι παρέχοντα, πλοῦτον αἰώνιον· Πανυπέραγνε, Θεοκυῆτορ Δέσποινα, Μαριὰμ Εὐλογημένη.

Ἡλιόμορφον, τὸ κάλλος τοῦ προσώπου σου, καὶ ἀπερίγραπτον· Θεοῦ φαιδραῖς καλλοναῖς, Παρθένε κεκόσμησαι, ταῖς ὑπὲρ ἔννοιαν· παρθενεύεις γάρ, καὶ μετὰ τόκον Ἄφθορε, τῶν θαυμάτων ξένον θαῦμα!

Σκεῦος γέγονας, τοῦ Πνεύματος πολύτιμον, καὶ καθαρότατον· Παρθένε μόνη Ἁγνή, τῆς χάριτος πλήρωμα, ἔνδον βαστάσασα· ὡς κυήσασα, τὸν Βασιλέα Κύριον, καὶ Θεὸν ἀνερμηνεύτως.

Τῆς ῾Αγίας. Ὅμοια.

Νεουργήσασα, καρδίας σου τὴν αὔλακα, ἀρότρῳ πίστεως· ὦ Θεοδούλη καρπόν, πολύχουν ἐθέρισας, θείας ἀθλήσεως· ὃν ἀπέδωκας, τῷ σῷ Νυμφίῳ ψάλλουσα, ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἐπαιρόμενον ἐχθρὸν τὸν πολυμήχανον εἰς γῆν κατέβαλες· τῇ καρτερίᾳ τῇ σῇ, Θεοῦ συμμαχοῦντος σοι, ἐν ἀγωνίσμασιν· Ὃν ἱκετευε, ὦ Θεοδούλη πάντιμε, σὺν συνάθλοις σου ἀπαύστως.

Πύργος ἄσειστος, τῆς πίστεως γεγένησαι, καὶ περιτείχισμα· τῆς εὐσεβείας κανών, ἐλπίδος βεβαίωσις, πρᾶξις ἀγάπης τε· ἣν ἀπέδειξας ἐν Μαρτυρίου σκάμμασι Θεοδούλη μακαρία.

Ἀγγελότροπον, τὸν βίον σου ἐποίησας, καὶ οὐρανόφρονα· ὦ Θεοδούλη σεμνή, σωφρόνως βιώσασα, καὶ ἀριστεύσασα· ἐν τοῖς ἔργοις σου τοῖς ἀγαθοῖς οἷς ᾔνεσας, τὸν Θεὸν μεγαλοφώνως.

Θεοτοκίον.

῾Ιεράτευμα, Βασίλειον Πανάμωμε, σὺ ἐχρημάτισας· τὸν Βασιλέα καὶ γάρ, τῶν ὅλων ἐβάστασας, ἐν ταῖς ἀγκάλαις σου· ὃς τὸν ἄνθρωπον, ἱερουργὸν ἐποίησεν, οὐρανίου λειτουργίας.

ᾨδὴ η'. ῾Ο εἱρμός.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος· νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν· τόν

Κύριον, ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἵνα τοὺς ἀνθρώπους καταλλάξῃς Παρθένε ὑπεραγία τῷ ποιήσαντι, χρέος τῆς προμήτορος· Εὔας σὺ ἐξήλειψας, ὑπακοῇ ἀκούσασα, καὶ πειθαρχήσασα· ἐν μήτρᾳ σου, Θεὸν γὰρ συνέσχες, ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Σέβας γηγενεῖς σὺν τοῖς ᾿Αγγέλοις, Παρθένε ὑπεραγία σοὶ προσφέρομεν, ὅτι ὑπερβέβηκας· τάγματα οὐράνια,τῇ ὑπὲρ νοῦν συλλήψει σου, καὶ ἀποτέξει σου· τόν Κύριον,καὶ κτίστην τῶν ὅλων, τέτοκας γὰρ βρέφος, Θεοῦ Πατρὸς βουλήσει.

Ἴαμα τὸ ἄμισθον παρέχεις, τοῖς νόσοις ἐν πολυτρόποις ἀποκάμνουσι, ἔχεις γὰρ τὸ δύνασθαι· ἴσον τῇ θελήσει σου, Θεοκυῆτορ Δέσποινα, ὡς Μήτηρ Ἄχραντος· τοῦ ἔχοντος, ἰσχὺν ἀμετρήτως, νόσους θεραπεύειν, καὶ πάθη ψυχοφθόρα.

Δόλῳ ὁ ἐχθρὸς ἀποπειρᾶται, Θεοῦ με ἀπομακρύναι Μητροπάρθενε, σοῦ δὲ ταῖς δεήσεσιν· ὅλος στηριζόμενος, τὰ δολερὰ τεχνάσματα, αὐτοῦ ἐκτρέπομαι· ἐγγύτητι, Αὐτῷ δὲ προστρέχων, ὕμνον ἀναμέλπω, ἀεὶ δοξολογίας.

Τῆς ῾Αγίας. Ὅμοια.

Νεύσει τοῦ Θεοῦ σου Θεοδούλη, εἰς πάλην τοῦ Μαρτυρίου εἰσχωρήσασα, ἔλαβες ἐπάξια· στέφανον ἀκήρατον,καὶ τὴν τιμὴν τὴν κρείττονα καὶ

ὑπερέχουσαν· τόν Κύριον ὑμνοῦσα ἀπαύστως, καὶ ὑπερυψοῦσα, εἰς πάντας τοὺς αἰῶνας.
Ὥσπερ ὁ χρυσὸς ἐδοκιμάσθης, καμίνῳ, ὢ Θεοδούλη τῶν αἰκίσεων, λάμπεις οὖν τοῖς πέρασι· πᾶσι τηλαυγέστατα καὶ θησαυρὸν οὐράνιον, καὶ ἀδιάφθορον· προβάλλουσα, προτρέπεις πρὸς αἶνον, καὶ δοξολογίαν, Θεοῦ τοῦ ἐν Τριάδι.
Ἵνα τὸν Θεὸν ὁμολογήσῃς, τὸν πάθος καταδεξάμενον ἑκούσιον, ἦλθες ἐν τῷ σκάμματι· ἔμπροσθεν τοῖς ἄρχουσι, καὶ τὸν Θεὸν ἐκήρυξας, τὸν Τρισυπόστατον· καὶ εἵλκυσας, Αὐτοῦ εἰς τὴν πίστιν, πλείστους Θεοδούλη, συμμάρτυρας οὓς ἔσχες.
Σκότος φυλακῆς ἐνεκαρτέρεις, καὶ φέγγους τοῦ τρισηλίου τὰς λαμπρότητας, ἔχουσα ὡς ἔσοπτρον· Μάρτυς μεγαλώνυμε, ὢ Θεοδούλη ἔκραζες, ἐν ἱλαρότητι· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα,καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἴσον τῷ Πατρὶ Υἱὸν καὶ Λόγον, Παρθένε Θεοκυῆτορ ἀπεγέννησας, σάρκα μὲν φορέσαντα· δίχα συνευρέσεως τῆς ἀνθρωπίνης Πάναγνε, ἐκ θείου Πνεύματος· Ἀπόῤῥητον, καὶ μέγα τὸ θαῦμα νόας ὑπερβαῖνον Ἀγγέλων καὶ ἀνθρώπων.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος· πανηγυριζέτω δέ, ἀΰλων νόων, φύσις γεραίρουσα, τὴν ἱερὰν πανήγυριν, τῆς

Θεομήτορος, καὶ βοάτω· χαίροις παμμακάρστε, Θεοτόκε Ἁγνὴ ἀειπάρθενε.
Στίχ. Μεγάλυνον ψυχή μου τὴν τιμιωτέραν, καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.
Ὥσπερ κιβωτός, σωτήριος Δέσποινα, Θεοχαρίτωτε·σώζεις ταῖς πρεσβείαις σου, ἡμᾶς τοὺς πρώην, φθόνῳ τοῦ ὄφεως, εἰς ἀπωλείας βάραθρα, κατολισθήσαντας, καὶ παρέχεις· χεῖρα ἀναβάσεως, ἡμᾶς φθᾶσαι εἰς ὕψος τῆς γνώσεως.
Στίχ. Μεγάλυνον ψυχή μου τὴν τιμιωτέραν
καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.
Ῥύστις ταχινή, ἑτοίμη ἀντίληψις καὶ καταφύγιον· τεῖχος ἀπροσμάχητον, ἐν τοῖς πολέμοις, καὶ περιστάσεσι, καὶ ἀσφαλὲς κραταίωμα, καὶ ἀμυντήριον, καὶ προστάτις· πέλεις ἀπειρόγαμε, Θεοτόκε διό σοι ἐλπίζομεν.
Στίχ. Μεγάλυνον ψυχή μου τὴν τιμιωτέραν
καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.
Ἅγιον Θεόν, ἐν μήτρᾳ σου ἔφερες δι' ἀγαθότητα· καὶ ἐν ταῖς ἀγκάλαις σου, ὡς βρέφος Κόρη, Αὐτὸν ἐβάστασας, καὶ ἐκ μαζῶν σου ἔθρεψας, καὶ ἐγαλούχησας, Παναγία· Τοῦτον ἐκδυσώπησον, παραβλέψαι ἡμῶν τὰ ἐγκλήματα.
Στίχ. Μεγάλυνον ψυχή μου τὴν τιμιωτέραν
καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.
Στέφος ἐκ τερπνῶν, ἀνθέων σοὶ πλέξαντες, εὐωδιάζουσαν· ἀποπνέον αἴνεσιν, ὃ πόθῳ φίλτρου, σοὶ ἀνατίθεμεν, τὴν Μητρικήν σου εὔνοιαν,

ἀντικομίσασθαι, καὶ βοῶμεν· δέησιν προσάγαγε, ὑπὲρ πάντων ἡμῶν Θεονύμφευτε.

Τῆς ῾Αγίας. ῞Ομοια.

Στίχος: Μεγάλυνον ψυχή μου, τὴν ἐκ Κιλικίας, Μάρτυρα Κυρίου τὴν θείαν Θεοδούλην.

Δῶρον τῷ Θεῷ, τῶν ὅλων προσήνεξαι, καὶ ὁλοκάρπωσις·Τοῦτον γὰρ ποθήσασα, ὦ Θεοδούλη, ἦρας ἐπ' ὤμων σου, τὸν σὸν Σταυρὸν καὶ χαίρουσα, κατηκολούθησας, καὶ ἀθλήσει· θείᾳ ἐπεσφράγισας, τὴν καλὴν μαρτυρίαν τῆς πίστεως.

Στίχος: Μεγάλυνον ψυχή μου, θείας Θεοδούλης, τὴν ὁμολογίαν ἐν μέσῳ τοῦ σταδίου.

Ὢ τῶν θαυμαστῶν, καὶ θείων χαρίτων σου, δι' ὧν κεκόσμησαι· ὢ στεῤῥᾶς σου πίστεως, ὢ τῆς ἐλπίδος, ὢ τῆς ἀγάπης σου, τῆς πρὸς Θεὸν ὃν ἔστερξας, ἀπὸ νεότητος, Θεοδούλη· Τούτου τὸ πανάγιον, ἐν τοῖς ἄθλοις τηρήσασα θέλημα.

Στίχος: Μεγάλυνον ψυχή μου, τὴν Χριστοῦ ἀμνάδα, τὴν διακριθεῖσαν ἐν ἄθλοις Θεοδούλην.

Ῥᾶον τὴν ὁδόν, τῆς πίστεως ἔδραμες, τὴν λίαν δύσβατον· Θεοδούλη πάντιμε, καὶ θείῳ σθένει, ταύτην τελέσασα, εἰς τῆς χαρᾶς τὸν πάμφωτον, νυμφῶνα ᾤκησας, εὐλογοῦσα· ἅμα σὺν στρατεύμασι, τῶν ᾿Αγγέλων Θεὸν τὸν Πανάγαθον.

Στίχος: Μεγάλυνον ψυχή μου, θείαν Θεοδούλην, τὴν ἐν τῇ καμίνῳ πυρὸς τελειωθεῖσαν.

Ἄσμασι καινοῖς, τὴν μνήμην τιμήσωμεν, τὴν ὑπερένδοξον· θείας καλλιμάρτυρος, τῆς Θεοδούλης, ταύτῃ κραυγάζοντες, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, ἡμῖν κατάπεμψον, τοῦ ἐλέους· χάριν τὴν πολύδωρον, σωτηρίαν ψυχῶν ὡς ἂν εὕρωμεν.

Θεοτοκίον.

Στίχος: Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.
Σοὶ μετὰ τιμῆς,τὸ γόνυ προσκλίνομεν,ψυχῆς καὶ σώματος·οἱ σοὶ δοῦλοι Δέσποινα, πολλῇ ἐν πίστει, τὰ μεγαλεῖάσου,τὰ θαυμαστὰ δοξάζοντες, καὶ μεγαλύνοντες, ἐκβοῶντες·χαίροις ἀειπάρθενε, αἰωνίου χαρᾶς τὸ κεφάλαιον.

Ἐξαποστειλάρια.

Ἦχος γ'. Ὁ οὐρανὸν τοῖς ἄστροις...

Ἕνα Θεὸν λατρεύω, τὸν Βασιλέα τοῦ παντός, καὶ τῶν γλυπτῶν εἰδώλων, ψευδεῖς ἀρχὰς καταπατῶ, ἡ Θεοδοὺλη ἐβόα, μετὰ φωνῆς στεντορείας.

Ἕτερον. Ὅμοιον.

Πολυειδῶν βασάνων, ὦ Θεοδούλη τῇ σαρκί, καθυποστᾶσα πόνους, εἰς τὴν χαρὰν τῶν οὐρανῶν, σὺν ἐκλεκτοῖς καὶ δικαίοις, πανευφροσύνως ἀγάλλει.

Ετερον. Ὅμοιον.

Σοῖς Θεοδούλη λόγοις, ἦλθον Θεῷ μαρτυρικῶς, ἐκ τῶν τυράννων πλεῖστοι, σὺν Ἑλλαδίῳ Βοηθός, καὶ ὁ Μακάριος ἅμα, τῷ Εὐαγρίῳ οὓς μέλπω.

Θεοτοκίον.

Τῶν Σεραφεὶμ ἀνωτέρα, τιμιωτέρα Χερουβείμ, πάντων᾽Αγγέλων τε ἅμα, ἐνδοξοτέρα Μαριάμ, μόνη ὑπάρχεις ὡς Μήτηρ, τοῦ Βασιλέως τῆς Δόξης.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

῾Ιστῶμεν στίχους δ΄.

Καὶ ψάλλομεν τὰ ἑξῆς προσόμοια.

῏Ηχος πλ. δ΄. ῍Ω τοῦ παραδόξου θαύματος...

Μάρτυς Θεοδούλη εὔψυχε! μαρτυρικῶς σὲ τιμῶ θαυμαστῶς τῶν ἀγώνων σου, τὴν δόξαν θεώμενος, καὶ πιστῶς εὐλαβούμενος· τὰ τῆς σαρκός σου μέλη δεξάμενα· τοῦ μαρτυρίου ἄλγη ἐπώδυνα. Τούτοις γὰρ γέγονας, κοινωνὸς ἐν χάριτι! τοῦ ᾽Ιησοῦ, πάθη ὃς ἐδέξατο, σαρκὶ τὰ ῎Αχραντα.

Χαίρει Κιλικία ἔνδοξος! μητροπρεπῶς ἐπὶ σοί, Θεοδούλη πανεύφημε, Χριστοῦ τοῦ καλέσαντος, ἡ τοὺς λόγους τηρήσασα· καὶ θείοις ἄθλοις τούτου τὸ ὄνομα· ἐν θαυμαστώσει πλείστῃ τρανώσασα. Τέλος τὸ ἅγιον, ἐν πυρὶ γὰρ δέδεξαι! μετὰ πολλῶν, οἷς συνάμα πρέσβευε, Θεῷ ἑκάστοτε.

Σέβω τὸν Θεὸν τοῦ σύμπαντος! τῶν δὲ εἰδώλων βωμούς, τοὺς σαθροὺς καταπτύσσομαι, φωνῇ στεντορείᾳ σου, Θεοδούλη ἀνέκραζες· ἐν τῷ σταδίῳ πάντας ἐκπλήττουσα· τῇ εὐτολμίᾳ τῆς παῤῥησίας σου.Ταύτης ἀξίωσον,καὶ ἡμᾶς μιμήσασθαι! τὸ ἀρεστόν, ὡς ἂν δικαιώσεως, τῆς ἄνω τύχωμεν.

Παῖδες ὡς οἱ τρεῖς τὸ πρότερον! ὦ Θεοδούλη πυρί τῆς καμίνου ἐμβέβλησαι, Θεοῦ τοῦ ποιήσαντος, φλεγομένη τῷ ἔρωτι· τὸν τοῦ θανάτου φόβον ἀπέῤῥιψας· καὶ χαρμοσύνως Τούτῳ ἐκραύγαζες. Σῆς ἀγαπήσεως, καὶ στοργῆς φιλάνθρωπε! τῶν ἐπὶ γῆς, ἔρως οὐ δυνήσεται, οὐδεὶς χωρίσαί με.

Δόξα. Ἦχος πλ. δ'.

Διαφερόντως ᾄσμασι, καινοῖς καὶ θεαρέστοις,τιμήσωμεν φιλέορτοι τὴν θείαν Θεοδούλην. Αὕτη γὰρ ἦρε τὸν Σταυρὸν Χριστοῦ ἐπὶ τῶν ὤμων, καὶ χαίρουσα διέδραμεν ὁδὸν τοῦ μαρτυρίου. Κάρφη ἐδέξατο σαρκί, Χριστὸν ἐνθυμουμένη τὸν ἐπὶ ξύλου τοῦ Σταυροῦ, θελήσει καρφωθέντα. Θριξί τε θείας κεφαλῆς, καὶ πάλιν ἀνηρτήθη, ἐν κυπαρίσσῳ καλλονὰς τὰς ἄνω θεωροῦσα. Ἐν φυλακῇ ἐμβέβληται, ἡπλώθη ἐν ἐσχάρᾳ, περιχυθεῖσα ἔλαιον μετὰ κηροῦ καὶ πίσσης. Ἐν δὲ καμίνῳ τοῦ πυρός, βληθεῖσα ὡς οἱ παῖδες, ἀνάλωτος μὲν ἔμεινε ψυχῇ ἐξαγνισθείσῃ. Τέλος δὲ εὕρατο σαρκός, μετὰ πολλῶν ἑτέρων, μεθ' ὧν ποιεῖται δέησιν Θεῷ ἀδιαλείπτως. Ὅπως ἐλέους τύχωμεν καὶ θείας σωτηρίας, οἱ εὐλαβούμενοι σεπτῶς αὐτῆς τὰ μεγαλεῖα, τὸν Ἀθλοθέτην δὲ Θεὸν ᾄδοντες εἰς αἰῶνας.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία Μεγάλη.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τυπικά, Μακαρισμοὶ καὶ ἐκ τοῦ κανόνος ἡ γ'. καὶ στ'. ᾠδή.
᾿Απόστολος. Εὐαγγέλιον. (Μαρτυρικά).

ΜΕΓΑΛΥΝΑΡΙΑ

Χαίροις Κιλικίας ἡ ἀπαρχή, χαίροις ᾿Εκκλησίας ἡ εὐώδης προσαγωγή, χαίροις Θεοδούλη Μαρτύρων κοσμιότης· Παρθένων τε φρονίμων τὸ σεμνολόγημα.
Λόγοις Θεοδούλη ὑψοποιοῖς, ἔτρεψας τυράννους εἰς τὴν πίστιν τὴν ἀληθῆ, οὗτοι τῷ πυρὶ γὰρ σὺν σοὶ τελειωθέντες, ζωῆς αἰωνιζούσης κλῆρον εἰλήφασιν.

